τὴν αἰτίαν, τὰς δ᾽ ἐν τοῖς σώμασι δυνάμεις ὄργανα μᾶλλον ὄντα τῆς τῶν οὐρανῶν ποιητικῆς δυνάμεως εἰς τὴν τῶν μικτῶν σύνθεσιν πρώτως ἀποφαίνονται ποιητικὰς αἰτίας, ἐπειδὴ γὰρ πεφυκέναι φασὶ τὸ μὲν θερμὸν διακρίνειν, τὸ δὲ ψυχρὸν συνιστάναι, ὥστ᾽ εἶναι ποιητικά, τῶν δὲ ἄλλων ἕκαστον τῶν ἐν τῷ παντὶ, τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν ὀρθῶς λέγειν δοκοῦσιν. ἐκ τούτων ὡς ὑλικῶν, καὶ διὰ τούτων ὡς ποιητικῶν ἅπαντα τἄλλα γίγνεσθαι καὶ φθείρεσθαι, οὐ μὴν ἀλλ᾽ ἁμαρτάνουσιν, εἰ γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τὰ κυρίως εἰσὶ ποιητικά, οὐκ ἐχρῆν αὖ ταῦτα πάσχειν ὑφ᾽ ἑτέρου, ἐκεῖνο γὰρ αὖ μᾶλλον ποιητικὸν, ἢ ταῦτα. τὸ γὰρ πρώτως ποιητικὸν ἀπαθὲς ὀφείλει ὑπάρχειν. νῦν δὲ φαίνεται καὶ τὸ πῦρ αὐτὸ μάλιστα θερμὸν ὂν κινούμενον καὶ πάσχον. Ἔτι δὲ παραπλήσιον ποιοῦσιν οἱ τὰς ἐν τοῖς σώμασι δυνάμεις παθητικὰς, ποιητικὰς αἰτίας λέγοντες, ὥσπερ εἴτις τῷ πρίονι, καὶ ἑκάστῳ τῶν ὀργάνων ἀπονέμει τὴν αἰτίαν τῶν γιγνομένων, ὥσπερ γὰρ ταῦτα ὑφ᾽ ἑτέρου κινεῖται, οὕτωτοι καὶ τὸ θερμὸν καὶ ψυχρὸν σῶμα ὑπ᾽ ἄλλου κινούμενα κινεῖ, ὅτι δὲ ἄτοπον τοῖς ὀργάνοις ἀπονέμειν τὴν αἰτίαν τῶν γινομένων δῆλον, τοῦ γὰρ πρώτως ποιοῦντος ὑπάρχοντος ἀνάγκη καὶ τὴν κίνησιν εἶναι, ὥστε ἔδει καὶ πρίονος ὄντος διαιρεῖσθαι, καὶ ξέοντος λεαίνεσθαι, καὶ τῶν ἄλλων ὀργάνων ὁμοίως, εἰ ταῦτα πρώτως εἰσὶ ποιητικά. ὥστε εἰ ὅτι μάλιστα καὶ πρώτως φασὶ ποιεῖν καὶ κινεῖν τὸ πῦρ. ἀλλ᾽ ἁμαρτάνουσιν οὐ πρὸς θεωροῦντες πῶς κινεῖ, ἐπειδὴ γὰρ αὐτὸ τοῦτο ὑπ᾽ ἄλλου κινεῖται, οὐ πρώτως δεῖ κινεῖν, μάλιστα δὲ χεῖρον κινεῖ, ἢ τὰ ὄργανα, ταῦτα γὰρ κυβερνητικὴν ἔχει τὴν τέχνην, ἐκεῖνα δὲ ὑπὸ μηδενὸς διοικεῖται.

## Ἀπορίαι.

ἈΠορεῖται πρῶτον ὅτι δοκεῖ μὲν ὁ Φιλόσοφος ἀΐδια καὶ πρῶτα τὰ οὐράνια λέγειν σώματα, καὶ τούτοις ἐγκρίνειν τὸ ποιητικὸν αἴτιον, οὐχ ἱκαναὶ γάρ φησιν αἱ δύο, καθάπερ οὐδ᾽ ἐν τοῖς πρώτοις, οὕτωτοι καὶ Φιλοπόνου τὴν τοῦ Φιλοσόφου λέξιν ἀναπτύσσοντος. ἀλλὰ κομιδῇ ἡ τοιαύτη ἔκθεσις ἀπεμφαίνει τοῖς ἀλλαχόσε τῷ Σταγειρίτῃ λεγομένοις, τῶν γὰρ ἀϊδίων ποιητικὴν αἰτίαν οὐδαμῇ τῶν αὐτοῦ συγγραμμάτων παραδίδωσι. μάλιστα δὲ ἐπειδὴ σώματος τὸ ποιητικὸν αἴτιον κατὰ φύσιν ἔνυλον ὀφείλει εἶναι τὰ κεχωρισμένα τῶν εἰδῶν τῆς ὕλης πάντως ἀφελὼν ὁ Φιλόσοφος τελικὰ τίθησι καὶ συνεκτικὰ, ἀλλ᾽ οὐ παραγωγὰ, οὐδὲ δραστικά. ἵνα μὴ ἔνδειαν ὑποφαίνῃ τινὰ, ἢ τῷ τῆς ἐνεργείας τρόπῳ ταῦτα ἀτιμάσῃ, τὴν δὲ ὑπερφυῆ καὶ ἄρρητον πλάσιν θείῳ νεύματι ἀνα-



ΙΩΑΝΝΙΝΑ 2006

θεῶς πελυμμένην, οὐδ᾽ ὄναρ ἑώρακεν ἐκ Φυσικῶν ἀρχῶν ὁρμηθεὶς, ἀλλ᾽ οὐ τοῖς θείοις λόγοις χειραγωγούμενος, ἀΐδια τοιγαροῦν ἐπὶ τῆς λέξεως καὶ πρῶτα τὰ καθόλου φησὶ παρεμφερῶς τῇ οἰκείᾳ προθέσει. ἐπειδὴ γὰρ εἴρηκε ῥᾷον τὰ καθ᾽ ἕκαστα θεωρεῖσθαι, ὅταν περὶ τῶν καθόλου λάβωμεν πρῶτον, εἰς τούτου δεῖξιν προστίθησιν, ὅτι τῶν ἀϊδίων καὶ πρώτων δηλαδὴ τῶν καθόλου ἀρχαὶ τὸν ἀριθμὸν ἴσαι εἰσὶ, καὶ τῷ γένει αἱ αὐταὶ, αἵπερ ἐν τοῖς καθ᾽ ἕκαστα, ὥστε πᾶσα γνῶσις ἡμῖν ἐκ τῶν ἀρχῶν πορίζεται, ὀρθῶς τῶν καθόλου γιγνομένων καὶ τὰ καθ᾽ ἕκαστα ληπτὰ γίνεται, ἀμφοτέρων γὰρ αἱ ἀρχαὶ αἱ αὐταὶ εἰσιν, ὥστε καὶ ἡ αὐτὴ ἐπιστήμη. ὅτι δὲ ἀΐδια φησιν ἐνταῦθα τὰ καθόλου, ἀλλ᾽ οὐ τὰ οὐράνια σώματα φανερόν. Πρῶτον μὲν ὅτι τῶν οὐρανίων σωμάτων οὐκ ἔστι ποιητικὸν αἴτιον κατὰ τὸν Φιλόσοφον, τοῖς δὲ ἐπὶ τῆς λέξεως ἀϊδίοις δεῖν φησι καὶ τὴν τρίτην προσυπάρχειν αἰτίαν. Δεύτερον δὲ τίς οὕτως ἄπειρος τῶν Φιλοσοφικῶν ῥήσεων, ὥστε τῶν γεννητῶν καὶ φθαρτῶν τὰς αὐτὰς τῷ γένει αἰτίας αἵπερ εἰσὶν ἐν τοῖς οὐρανίοις σώμασιν ἀποφαίνεσθαι; τῶν γὰρ γένει διαφερόντων καὶ αἱ ἀρχαὶ διεστήκασι τῷ γένει, τὰ δὲ οὐράνια σώματα τῶν ὑπὸ Σελήνην γένει διενήνοχεν ἅτε δὴ ἄφθαρτα τῶν φθαρτῶν. Τρίτον δὲ καὶ μάλιστα ὅτι οὐδεὶς ἐνταῦθα πρόκειται λόγος τῷ Φιλοσόφῳ περὶ τῆς ποιητικῆς αἰτίας τῶν οὐρανίων σωμάτων, ἀλλ᾽ οὐδὲ ἐκ τῆς τούτου ζητήσεως σύμφορόν τι συνάγεται. ζητεῖται δὲ αὐτῷ καὶ μάλιστα τῆς ἀϊδίου κατὰ διαδοχὴν διαμονῆς τῶν ὑπὸ Σελήνην τὸ αἴτιον, καὶ δείκνυται εὐλόγως, ὅτι καὶ τῶν καθόλου ὀφείλει τὸ ποιοῦν ὑπάρχειν. ταῦτα γὰρ ἐν τοῖς καθ᾽ ἕκαστα τὸ εἶναι ἔχει καὶ σώζεται ἐν ἐκείνοις, ὥστ᾽ εἰ ταῦτα πάντα φθαρτὰ, οὐκ ἐν τούτοις, οὐδ᾽ ἐκ τούτων, ἀλλ᾽ ἀλλαχόθεν δεῖ τῆς κατὰ τὸ εἶδος τούτων σωτηρίας τὸ αἴτιον θηρεύσασθαι.

Ἀπορεῖται δεύτερον πῶς ὁ Φιλόσοφος τῶν καθόλου, καὶ τῶν καθ᾽ ἕκαστα γεννητῶν καὶ φθαρτῶν τὰς αὐτὰς τῷ γένει τίθησιν αἰτίας. τῶν γὰρ καθόλου αἴτια τὰ αἰθέρια σώματα, τῶν δὲ καθ᾽ ἕκαστα τὰ ἐπὶ μέρους αἴτια. ταῦτα δὲ φθαρτὰ ὄντα τῶν οὐρανίων σωμάτων γένει διέστηκεν. ἢ οὐ τὰς αὐτὰς τίθησιν αἰτίας κατ᾽ οὐσίαν, ἀλλὰ κατὰ τὸ τῆς αἰτίας γένος. τεττάρων γὰρ ὄντων τῶν γενῶν τῆς αἰτίας, τὰ αὐτὰ τῷ γένει αἴτια τίθησι τῶν τε καθόλου καὶ τῶν κατὰ μέρος. ποιητικὰ δηλαδὴ ἐν ἀμφοτέροις, καὶ ὑλικὰ, καὶ εἰδικά.

Ἀπορεῖται τρίτον ὅτι αὐτοῖς ῥήμασιν ὁ Φιλόσοφος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ὄργανα φησιν εἶναι, πῶς οὖν ἡμεῖς ἐν τοῖς πρότερον λόγοις εἴδη ταῦτα ἐτιθέμεθα τῶν στοιχείων; ἢ ὄργανα ταῦτα φησὶν ὁ Φιλόσοφος οὐ πρὸς τὰ ἐν τοῖς στοιχείοις εἴδη, ὡς οἱ νεώτεροι φαντάζονται, ἀλλὰ πρὸς τὰ οὐράνια σώματα, ἐπειδὴ γὰρ τὰ στοιχεῖα ὑπὸ τῶν οὐρανῶν

κινούμενα κινεῖ, φανερὸν ὅτι ὀργάνου λόγον ἔχει πρὸς ἐκείνους, ὅτι καὶ τούτους χρώμενοι τὰ μικτὰ πάντα γεννῶσι.

# ΚΕΦΑΛΑΙΟΝ, ΕΒΔΟΜΟΝ.

## Διότι ἐστὶ γένεσις καὶ φθορά, καὶ διὰ τιν' αἰτίαν, καὶ τί τὸ γεννητόν, καὶ φθαρτόν.

Τοῖς μὲν οὖν ἄλλοις εἴτε τὴν ὕλην αἰτιωμένοις, εἴτε τὰς ἰδέας ἐν λόγῳ ποιητικοῦ αἰτίου οὐκ ὀρθῶς διώρισαι, ἡμῖν δὲ καθόλου πρότερον εἴρηται περὶ τῶν αἰτίων ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς Ἀκροάσεως. ἐν οἷς καὶ περὶ ποιητικοῦ διελάβομεν, καὶ ἐν τῇ παρούσῃ πραγματείᾳ, περί τε τῆς ὕλης καὶ τῆς μορφῆς ἀποχρώντως λέλεκται. Ἔτι δὲ ἰδικώτερον περὶ τῆς ποιητικῆς αἰτίας εἴρηται ἐν τῷ ἐννάτῳ τῆς Φυσικῆς Ἀκροάσεως. ἐπειδὴ γὰρ ἐν ἐκείνοις δέδεικται, ὅτι ἀΐδιος ἡ κατὰ φορὰν κίνησις τῶν οὐρανίων σωμάτων, ἀνάγκη τούτων ὄντων, καὶ κινουμένων ἀεί, καὶ γένεσιν εἶναι συνεχῶς, ἡ γὰρ φορὰ ποιήσει τὴν γένεσιν ἐντελεχῶς διὰ τὸ προσάγειν καὶ ἀπάγειν τὸν Ἥλιον ἐν τῷ λοξῷ κύκλῳ, ὅς ἐστι τὸ γεννητικόν. τὸ δὲ τὴν φορὰν πρώτην εἶναι τῶν μεταβολῶν, καὶ τῆς γενέσεως αἰτίαν, φανερὸν οἷς τε πρότερον εἴρηται λόγοις, καὶ ἅμα δῆλον ἐκ τούτου, ἐπειδὴ δύο κυριώταται κινήσεις, εἰσὶν ἥτε κατὰ τὴν φοράν, καὶ ἡ κατὰ τὴν γένεσιν, εἰκότως ἡ φορὰ τῆς γενέσεως αἰτία τάττεται, ἀλλ' οὐχ ἡ γένεσις τῆς φορᾶς. πολὺ γὰρ εὐλογώτερον τὸ ὂν τῷ μὴ ὄντι γενέσεως αἴτιον εἶναι, ἢ τὸ μὴ ὂν τῷ ὄντι τοῦ εἶναι, ἡ μὲν οὖν φορὰ ὂν ἐστιν, ἔστι γὰρ τὸ ὑποκείμενον ταύτης ὃ φέρεται, τὸ δὲ γιγνόμενον οὐκ ἔστι, γίγνεται γὰρ τὸ μήπω ὄν, ὥστε καὶ ἡ γένεσις μὴ ὄν, διὸ καὶ ἡ φορὰ προτέρα καὶ αἰτία τῆς γενέσεως εὐλόγως λέγεται. ἐκεῖνο δὲ ζητήσεως ἄξιον πῶς ἡ φορὰ αἰτία τοῦ γίγνεσθαι· δέδεικται γὰρ ὅτι ἡ γένεσις καὶ ἡ φθορὰ τοῖς πράγμασι συνεχής ἐστι κατὰ διαδοχήν. καὶ ὅτι ἡ τοῦ ἑτέρου φθορὰ θατέρου γένεσίς ἐστι. καὶ ἡ ἑτέρου γένεσις θατέρου φθορά. ὑπὸ δὲ τῆς φορᾶς ἁπλῆς οὔσης καὶ μιᾶς οὐκ ἐνδέχεται ἀμφοτέρας γίνεσθαι τὰς κινήσεις ταύτας, καὶ γὰρ ἐναντίαι εἰσί, τὰ δὲ ἐναντία ἀδύνατον ὑπὸ τοῦ αὐτοῦ γίγνεσθαι, ὅτι τὸ αὐτὸ καὶ ὡσαύτως ἔχον ἀεί, τὸ αὐτὸ πέφυκε ποιεῖν, ὥστε μιᾶς οὔσης τῆς φορᾶς, ἤτοι γένεσις ἔσται ἀεί, ἢ φθορά. ἐπειδὴ τοίνυν ἐν τοῖς πράγμασι καὶ γένεσις ὑπάρχει, καὶ φθο-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΡ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Ζ. ΙΩΑΝΝΙΝΑ 2006

ρα, ἀνάγκη ἤτοι πλείους εἶναι τὰς κινήσεις ὑφ' ὧν γίγνονται, καὶ ἐναντίας κατὰ τὴν φοράν. ἢ μίαν μὲν, διάφορον δὲ τῇ ἀνωμαλίᾳ, τῶν γὰρ ἐναντίων καὶ τὰ αἴτια ὀφείλει πως ἔχειν ἀντικειμένως. ἐπειδὴ οὖν οὐχ ἡ τῆς ἐξωτάτω σφαίρας φορά, ἀλλ' ἡ κατὰ τὸν λοξὸν κύκλον κίνησις ἀνωμάλως ἔχει κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν ἀποχρῶσα αἰτία ἐστὶ γενέσεως καὶ φθορᾶς. καὶ γὰρ δύο ταῦτα πρόσεισι τῇ γενέσει καὶ τῇ φθορᾷ τό, τε μὴ ἐπιλείπειν, ἀλλὰ διαδέχεσθαι ἀλλήλας ἀϊδίως, καὶ τὸ ἀνώμαλον, ἅτινα ἀμφότερα εὐλόγως ἀνατίθεται τῇ κατὰ τὸν λοξὸν κύκλον φορᾷ, ἀΐδιός τε γὰρ οὖσα καὶ συνεχὴς συνεχῶς ποιεῖ γένεσιν καὶ φθορὰν, καὶ τοῦ μὴ ἐπιλείπειν αἰτία ὑπάρχει. προσόδῳ δὲ καὶ ἀποστάσει διῃρημένη τὴν ἐν γενέσει καὶ φθορᾷ ἐναντίωσιν ἀπεργάζεται. καὶ ὅπως μὴ θατέρᾳ μόνῃ τῶν κινήσεων συμβαίνῃ, ἀλλ' ἑκατέρᾳ κατὰ διαδοχὴν ἐστὶ παραίτιος. ὅτι δὲ συνεχής ἐστιν ἡ ἐπὶ τοῦ λοξοῦ κύκλου φορὰ φανερόν. καὶ γὰρ ἡ ὅλη τοῦ Ἡλίου σφαῖρα ἀδιακόπως τε φέρεται καὶ ἀϊδίως, τῆς τε κατὰ τὴν κίνησιν πρὸς ἡμᾶς ἀνωμαλίας, καὶ τοῦ προσιέναι καὶ ἀπιέναι αἴτιον ἡ ἔγκλισις τοῦ Ζωδιακοῦ κύκλου, ἐπ' αὐτοῦ γὰρ διαθέοντα τὸν Ἥλιον. ὅτε μὲν πόῤῥω γίγνεσθαι, ὁπηνίκα δὴ ἀπὸ τοῦ ἰσημερινοῦ πρὸς αἰγόκερω κινεῖται, ὅτε δὲ ἐγγὺς ὁπηνίκα φέρεται πρὸς καρκῖνον ἀνάγκη. τοιγαροῦν ἀνώμαλός ἐστιν ἡ κίνησις διὰ τὸ ἄνισον εἶναι τὸ διάστημα ἐφ' οὗ φέρεται ὁ Ἥλιος, συμβαίνει γὰρ ἀνωμάλως ἔχειν πρὸς ἡμᾶς, ὁτὲ μὲν προσαγόμενον, ὁτὲ δὲ ἀπαγόμενον, καὶ ταύτῃ τῇ ἀνωμαλίᾳ αἴτιός ἐστι γενέσεως καὶ φθορᾶς, εἰ γὰρ τῷ προσιέναι καὶ ἐγγὺς εἶναι γεννᾷ, τῷ ἀπιέναι καὶ πόῤῥω γίγνεσθαι ταὐτὸ τοῦτο φθείρει, καὶ ὧν τὴν γένεσιν καὶ αὔξησιν πλησίον γινόμενος αἰτιᾶται τούτων τὴν φθορὰν καὶ φθίσιν ἀποχωρῶν προξενεῖ, ὁμοίως δὲ καὶ ὅσα γεννᾷ καὶ αὔξει τῷ πολλάκις προσιέναι, ταῦτα φθείρει τῷ πολλάκις ἀπελθεῖν, ἃ γὰρ ἐν πολλαῖς προσόδοις ἐπιδίδωσι ταῦτα πλείοσιν ἀποχωρήσεσιν ἀπακμάζει καὶ τελευτᾷ. τῶν γὰρ ἐναντίων ὀφείλει τὰ αἴτια πάντως ἐναντία ὑπάρχειν. ὥστε καὶ τὰ γιγνόμενα ὑπὸ πλειόνων προσελεύσεων φθείρεσθαι διὰ πλειόνων ἀποστάσεων. διὰ τοῦτο καὶ ἡ τῶν γιγνομένων αὔξησις καὶ φθίσις κατὰ φύσιν περαινόμεναι ἐν ἴσῳ γίνονται χρόνῳ. ἡ μὲν γὰρ αὔξησις γένεσις εἰκότως λέγοιτ' ἄν, τέλειον γὰρ τὸ γιγνόμενον ἐν αὐτῇ τῇ ἀκμῇ, καὶ μέχρι τῆσδε ὅλως γίγνεται, τὸ δὲ φθῖνον ἄχρι τῆς τελευτῆς συνεχῶς φθείρεται, δι' ἃ δὴ καὶ οἱ χρόνοι καὶ οἱ βίοι τῶν γινομένων ἀριθμὸν ἔχουσι διωρισμένον, πάντων γὰρ ἐστὶ τάξις κατὰ αὔξησιν καὶ φθίσιν, καὶ ἅπας χρόνος καὶ βίος προσόδοις καὶ ἀφόδοις Ἡλίου μετροῦνται. ἀλλ' οἱ μὲν ἐλάττοσιν, οἱ δὲ πλείοσι. τοῖς μὲν γὰρ ἐνιαυτὸς, τοῖς δὲ μείζων, τοῖς δὲ ἐλάττων περίοδός ἐστι τὸ μέτρον τοῦ βίου. τὰ δὲ παρ' ἡμῖν λεγόμενα καὶ κατὰ τὴν



ΙΩΑΝΝΙΝΑ 2006

αἴσθησιν ὁμολογούμενα φαίνεται. ὁρῶμεν γὰρ ὅτι προσιόντος τοῦ Ἡλίου γένεσις γίγνεται, καὶ τῶν γιγνομένων ἀκμή, ἀπιόντος δὲ φθίσις, καὶ ἑκάτερον ἐν ἴσῳ χρόνῳ, ἴσον γὰρ καὶ τὸ διάστημα τὸ ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου μέχρι καρκίνου, ὅπερ ἐστὶ τὸ ἀπὸ τοῦ ἰσημερινοῦ μέχρις αἰγοκέρω. τοιγαροῦν ἴσος ἐστὶν ὁ χρόνος τῆς τε ἐπιδόσεως, καὶ γενέσεως, καὶ φθίσεως, καὶ φθορᾶς τῶν πραγμάτων κατὰ φύσιν ἐχόντων. τῆς μὲν γὰρ συμπήξεως καὶ συγκράσεως τῶν σωμάτων ἀσθενοῦς οὔσης, καὶ παρὰ φύσιν συμβαίνει πολλάκις ἐν ἐλάττονι φθείρεσθαι χρόνῳ, ἰσχυρᾶς δὲ ὑπαρχούσης ἐπὶ πολὺ πολλάκις ἀναβάλλεται τὴν φθοράν. ἔδει μὲν οὖν ἐν ἴσῳ χρόνῳ τὴν γένεσιν τελεῖσθαι καὶ τὴν φθοράν, ἴση γὰρ ἡ φορὰ ἡ προσάγουσα τὸ γεννητικὸν τῇ ἀπαγούσῃ, ἀνωμάλου μέντοι γε τῆς ὕλης οὔσης τῆς προσεχοῦς δηλονότι τῶν στοιχείων, καὶ οὐ πανταχοῦ ὡσαύτως ἐχόντων, ἀνάγκη καὶ τὰς γενέσεις καὶ αὐξήσεις ἀνωμάλους εἶναι, καὶ τὰς μὲν θάττους, τὰς δὲ βραδυτέρας εἶναι. διὸ δὴ συμβαίνει καὶ ἀπιόντος Ἡλίου γίγνεσθαι γενέσεις, καὶ προσιόντος φθορὰς ἐνίων διὰ τὴν τῆς ὕλης ἀνωμαλίαν. ἐπειδὴ γὰρ ἀεὶ παρακολουθεῖ τῇ γενέσει φθορά, καὶ τῇ φθορᾷ γένεσις, καὶ τῶν πραγμάτων τὰ μὲν φθείρεται ταχύτερον τὰ δὲ βραδύτερον. συμβαίνει διὰ μὲν τὴν ἑτέρων φθορὰν ἄλλοις γίνεσθαι γένεσιν, διὰ δὲ τὴν ἑτέρων γένεσιν ἄλλοις φθοράν, ὥσπερ οὖν εἴρηται ἀεὶ ἔσται συνεχὴς καὶ ἀΐδιος κατὰ διαδοχήν, καὶ οὐδέποτε ὑπολείψει ἡ γένεσις καὶ φθορὰ διὰ τὸ ἀΐδιον εἶναι καὶ συνεχῆ τὴν ἐπὶ τοῦ λοξοῦ κύκλου τοῦ Ἡλίου φοράν, τοῦτο δ' εὐλόγως συμβέβηκε καὶ προσηκόντως τῷ τέλει τῆς φύσεως, ταύτην γὰρ ἐν ἅπασιν ἀεὶ τοῦ βελτίονος ὀρέγεσθαι φαμέν. βέλτιον δὲ τὸ εἶναι, ἢ μὴ εἶναι. ὥστε διατηρεῖν ἡ φύσις ὀρέγεται τὰ ὑπὸ Σελήνην ἅπαντα. ἐπεὶ δὲ τὸ εἶναι πολλαχῶς λέγεται ὡς ἐν ἄλλοις εἴρηται, τὸ μὲν γάρ ἐστι κατ' εἶδος, τὸ δὲ ἐν ἀτόμῳ, τὸ μὲν οὖν κατὰ τὸ εἶδος καὶ κατὰ τὸ ἄτομον διαμένειν ἐν ἅπασιν ἀδύνατον ὑπάρχει διὰ τὸ μὴ πάντα ἐγγὺς εἶναι τῆς ἀρχῆς, ἀλλὰ τὰ μὲν πλησίον ὑπάρχειν, τὰ δὲ πόρρω ἀφίστασθαι, διὰ τοῦτο τὰ μὲν οὐράνια σώματα ταῖς αὐτῶν ψυχαῖς συναπτόμενα ταῖς ἀΰλοις οὐσίαις, ἀθάνατά ἐστι καὶ ἀΐδια, οὐ μόνον τὸ εἶναι σώζοντα κατὰ τὸ εἶδος, ἀλλὰ καὶ τὰ αὐτὰ κατ' ἀριθμὸν διαμένοντα. τὰ δ' ὑπὸ Σελήνην ἐπείπερ ὡς ἀφεστῶτα πάντη, καὶ κεχωρισμένα ἀδύνατόν ἐστι κατὰ τὸν αὐτὸν σώζεσθαι λόγον, κατὰ μὲν τὴν ἄτομον φύσιν οὐ μένει διηνεκῶς, λείπεται τοίνυν τηρεῖσθαι κατὰ τὸ εἶδος, τὰ δὲ εἴδη σώζεσθαι κατὰ διαδοχὴν γινομένων ἑτέρων ὑφ' ἑτέρων ἀτόμων. ὥστε καὶ τὰ ὑπὸ Σελήνην εὐλόγως τουτονὶ διατηρεῖται τὸν τρόπον, ὅθεν ὁ αἰθὴρ συνεπλήρωσε τὸ ὅλον μὴ φθαρῆναι παρεάσας τὰ ὑπὸ Σελήνην, ὥστε διαλυθῆναι τὴν τοῦ ὅλου συνέχειαν, ἀλλ' ἐνδελεχῆ ποιήσας τὴν γέ-

νεσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΣΤΟΡΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

νεσιν. οὕτω γὰρ ἂν μάλιστα συνείροιτο τὸ εἶναι τῶν ὄντων, καὶ τῆς οἰκείας ἐφέσεως ἡ φύσις ἐπιτυγχάνει, τῷ τὰ μὲν ἔγγυσα τῶν νοερῶν οὐσιῶν ὅλως ἔχειν ἀθανάτως, τὰ δὲ μετ᾽ αὐτὰ μένειν ἄφθαρτα κατὰ τὸ εἶδος, καὶ γὰρ ἐγγύτατα τῆς οὐσίας ἐστί. καὶ τοῦ εἶναι ἀεὶ τὸ γίγνεσθαι διηνεκῶς, τούτου δὲ ὥσπερ εἴρηται θ΄. τῆς περὶ Φυσικῆς Ἀκροάσεως, καὶ ἐν τοῖς περὶ οὐρανοῦ αἰτία ἡ κύκλῳ φορά. μόνη γὰρ πασῶν τῶν κινήσεων ὡς δέδεικται συνεχής ἐστιν, ἀδιάκοπός τε καὶ ἀτελεύτητος, ὅθεν πάνθ᾽ ὅσα μεταβάλλει εἰς ἄλληλα κατὰ τὰς εἰδοποιοὺς ἐν αὐτοῖς ποιότητας, καὶ Φυσικὰς δυνάμεις, οἷον τὰ τέτταρα στοιχεῖα ὡς πρῶτα τῶν οὐρανίων σωμάτων ἀποτελέσματα, ὡς ἐφικτὸν ἐξομοιούμενα τῷ ποιοῦντι μιμεῖται τὴν κύκλῳ φορὰν ἐν ταῖς ἐξ ἀλλήλων μεταβολαῖς. καὶ γὰρ ἐξ ὕδατος ἀὴρ γίγνεται, καὶ ἐξ ἀέρος πῦρ, καὶ πάλιν ἐκ τοῦ πυρὸς ὕδωρ, καὶ κύκλῳ περιφέρεται ἡ τούτων γένεσις διὰ τὸ πάλιν ἀνακάμπτειν ὅθεν ἤρξατο. ἐπειδὴ δὲ ἐξ ἀλλήλων γίγνεται καὶ ἡ τούτων κατὰ τόπον φορὰ συνεχής ἐστι καὶ ἀΐδιος κατὰ διαδοχὴν ἐν τῷ οἰκείῳ εἴδει, οὐ παύεται γὰρ ἡ εἰς τὰ ἄνω ἢ κάτω φορὰ τούτων μὴ παυομένης τῆς τούτων μεταβολῆς.

Ἐκ τῶν εἰρημένων δὲ φανερὸν, ὅπερ ἀποροῦσί τινες, πῶς ἑκάστου τῶν ἁπλῶν σωμάτων εἰς τὸν οἰκεῖον προϊόντος τόπον ἐν τῷ ἀπείρῳ χρόνῳ οὐ κατέλαβε τὰ στοιχεῖα τὴν οἰκείαν χώραν, ὥστε διεστάναι μὲν αὐτὰ, διαλῦσαι δὲ πάντα τὰ σύνθετα, αἴτιον γὰρ τοῦ μὴ διακριθῆναι ἐν τῷ ἀπείρῳ ἡ εἰς ἄλληλα διὰ τῆς μεταβολῆς μετάβασις. εἰ γὰρ ἕκαστον ἔμεινεν ἐν τῇ αὐτοῦ χώρᾳ ταύτην καταλαβὸν, καὶ μὴ μετέβαλεν ὑπὸ τοῦ πλησίον, ἐκ πολλοῦ ἂν διεστήκεσαν, μεταβάλλει μέντοι γε διὰ τὴν ἐν τῇ φορᾷ τοῦ γεννητικοῦ κατὰ τὸν λοξὸν κύκλον ἀνωμαλίαν, ἥτις διαιρεῖ τὴν κίνησιν ταύτην κατὰ πρόσοδον καὶ ἄφοδον, καὶ διπλῆν ποιεῖ, ἐπεὶ δὲ τὰ στοιχεῖα διὰ τῆς φορᾶς ταύτης εἰς ἄλληλα μεταβάλλει, οὐκ ἐνδέχεται μένειν οὐδὲν αὐτῶν ἐν οὐδεμιᾷ χώρᾳ ὡρισμένῃ διηνεκῶς. τὸ γὰρ μεταβάλλον ἀεὶ εἰς ὃ γέγονε τὸν τόπον μεταβαίνει, ὥστε καὶ ἡ γένεσις τούτων, καὶ ἡ φορὰ συνεχής πώς ἐστι διὰ τὸ ἀκόλουθον, καὶ ἀνεπίληπτον. ὅτι μὲν οὖν τελικὸν αἴτιον γενέσεως καὶ φθορᾶς τὸ σωθῆναι τὰ γεννητὰ καὶ φθαρτὰ, κἂν γοῦν κατὰ τὸ εἶδος. ποιητικὸν δὲ ἡ ἐπὶ τοῦ λοξοῦ κύκλου φορὰ, συνεχὴς μὲν οὖσα τῷ κύκλῳ περιελίσσεσθαι, διαιρουμένη δὲ κατὰ προσέλευσιν καὶ ἀποχώρησιν τοῦ γεννητικοῦ, καὶ ὅτι γεννητὸν καὶ φθαρτὸν σῶμά ἐστι τὸ ἐξ ὑποκειμένου τοῦ δυνάμει ὄντος, καὶ τῶν πρώτων ἐναντίων συντιθέμενον, φανερὸν ἐκ τῶν εἰρημένων. ἐκεῖνο δὲ προσθετέον, ἵνα καὶ τὸ πρῶτον καὶ ἀρχικώτατον αἴτιον τῆς κινήσεως ἀναφανῆται, ὅτι πάσης κινήσεως αἰτιώτατον τὸ κινοῦν μὲν, ἀκίνητον δὲ ὂν καὶ ἀγέννητον καὶ ἀναλλοίωτον, ὃ καὶ συντόμως δείκνυται, ἰσχυρῶς δὲ καὶ ἀναντιρρήτως. εἰ γὰρ



ΙΩΑΝΝΙΝΑ 2006

ἔσαι κίνησις, ἀνάγκη εἶναι τὶ τὸ κινοῦν, ὥσπερ δέδεικται πρότερον ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς Ἀκροάσεως, τῶν γὰρ κινουμένων τὰ μὲν ὑπ᾿ ἄλλου κινεῖται διαῤῥήδην, καὶ τὸ κινοῦν ἴσχει, τὰ δὲ αὐτοκίνητα, καὶ ταῦτα ὀφείλει ὑπ᾿ ἄλλου κινεῖσθαι, καίτοι μὴ ὡς ποιητικοῦ, ἀλλ᾿ ὥς γε τελικοῦ αἰτίου ἀναμφιβόλως. ἵνα μὴ μάτην τὴν οἰκείαν προβάλληται κίνησιν, ἀεὶ γὰρ ἀνάγκη εἶναι οὗ ἕνεκα τὰ κατὰ φύσιν ἐνεργεῖ. τῶν μὲν οὖν ὑπ᾿ ἄλλου κινουμένων οἷα εἰσὶ τὰ ἁπλᾶ σώματα κινητικὸς ὁ αἰθὴρ, τοῦ δὲ αἰθέρος αὐτοκινήτου ὄντος, καὶ ἀϊδίου. ὅθεν οὐδὲν ἴσχει ποιητικὸν, ἦν γὰρ καὶ τοῦτο ὑφ᾿ ἑτέρου κινούμενον, ὁ δὲ λόγος φθὰς ἀπὸ μὲν τῶν ὑφ᾿ ἑτέρου κινουμένων ἐπὶ τὸ αὐτοκίνητον ἀνήγετο, καὶ τὸ αὐτὸ ἑαυτὸ κινοῦν, ἀπὸ δὲ τούτου εἰς τὸ πρῶτον κινοῦν ἀνέδραμε, λείπεται κινοῦν ἔχειν ὡς τὸ οὗ ἕνεκα. διὸ δὴ καὶ ἡ κίνησις ἀΐδιός ἐστι, καὶ τῆς τῶν γιγνομένων ἀϊδιότητος αἰτία, ὅτι τὸ τέλος καὶ τὸ οὗ ἕνεκα ἀεί ἐστι. καὶ κινεῖ δείκνυται ὅν εἴρηται τρόπον. Ἔτι δὲ συνεχής ἐστιν ἡ τούτων κίνησις, ὥστε μία ταύτης ἡ ἀρχὴ μὴ μόνον ἡ ποιητικὴ, ἀλλὰ καὶ ἡ τελικὴ, ἥτις ἐστὶν ἄϋλος καὶ κεχωρισμένος νοῦς, εἶδος ὂν πάσης ἀπόφερον ὑλικῆς προσπαθείας, ὃ καὶ ἀκίνητόν ἐστιν. εἰ γὰρ κινούμενον οὐκ ἁπλοῦν, οὐδὲ πρῶτον κινοῦν. ὁμοίως δὲ καὶ ἀγέννητον. τὸ γὰρ αὐτόθεν ἔχον τὸ εἶναι, καὶ μηδενὸς ἐξηρτημένον κατὰ τὴν ὕπαρξιν ἄναρχόν ἐστι καὶ ἀτελεύτητον. τὸ δ᾿ αὐτὸ τοῦτο καὶ ἀναλλοίωτον. ἡ γὰρ ἀλλοίωσις εἰς γένεσιν καταντᾷ. ὅθεν πᾶν τὸ ἀλλοιωτὸν γεννητόν ἐστι καὶ τὸ ἀγέννητον ἀναλλοίωτον. ἐκεῖνο δὲ ἔτι ἀπορήσεως ἐστὶν ἄξιον, πῶς λέγεται τὸ κινοῦν ἕν, πλείους γὰρ αἱ κύκλῳ κινήσεις τῶν οὐρανίων σωμάτων, ὥστε καὶ πλείω ὀφείλει τὰ κινοῦντα ὑπάρχειν. ἢ πλείους μὲν αἱ κινήσεις, πλείω δὲ καὶ τὰ κινοῦντα, ἀλλὰ συντεταγμένα ὄντα, καὶ ἀλλήλων ἀπηρτημένα ἀνάγκη τελεῦν πως ὑπὸ μίαν ἀρχὴν, ἀφ᾿ ἧς καὶ τὴν τάξιν ἔχει τἄλλα. οὐ γὰρ ἀταξία ἐν ταῖς κεχωρισμέναις οὐσίαις, εἰ δὲ τάξις ἔστι τι πρῶτον. ἐπεὶ δὲ εἴρηται ὅτι συνεχὴς ἡ κίνησις, τοῦτο καὶ ἐκ τῆς τοῦ χρόνου οὐσίας δείκνυται, ὁ μὲν γὰρ χρόνος οὐκ ἄνευ κινήσεώς ἐστιν, ἀλλὰ τῇ κινήσει παρέπεται ἀριθμὸς ταύτης ὑπάρχων, συνεχὴς δὲ ὁ χρόνος, ἄρα καὶ ἡ κίνησις. ἔστι δὲ ὁ χρόνος ἀριθμὸς τῆς κύκλῳ φορᾶς, οὐ πάσης δὲ ἀλλὰ τῆς ἐξωτάτω σφαίρας καθάπερ ἐν τοῖς ἐν ἀρχῇ λόγοις διώρισται, ἐπεὶ δὲ συνεχής ἐστιν ἡ κίνησις, εἰκότως ζητεῖται, πότερον συνεχής ἐστι τῷ τὸ κινούμενον συνεχὲς εἶναι, ἢ ἐν ᾧ κινεῖται; τοῦτο δὲ ἢ τὸ διάστημα ἐν ᾧ φέρεται, ἢ τὸ πάθος καθ᾿ ὃ κινεῖται. φανερὸν δὲ ὅτι συνεχὴς ἡ κίνησις διὰ τὸ συνεχὲς εἶναι τὸ κινούμενον, τὸ γὰρ πάθος οὐκ ἄλλως ἐνδέχεται συνεχὲς εἶναι, ἀλλ᾿ ἢ τῷ τὸ πρᾶγμα ᾧ συμβέβηκε συνεχὲς ὑπάρχειν. ἐπεὶ δὲ καὶ τὸ ἐν ᾧ διαστήματι ἡ φορὰ γίγνεται συνεχὲς,

μόνῳ γὰρ τῷ τόπῳ τὸ συνεχὲς ἐνυπάρχει, τὸ γὰρ μέγεθος συνεχές, ὁ δὲ τόπος μέγεθός τι ἔχει, καίτοι μηδὲ παντὶ τόπῳ τὸ κυρίως συνεχὲς πρόσεστιν, ἀλλὰ τούτῳ τῷ κύκλῳ μόνον, ἐπεὶ γὰρ τούτου ἔστιν ἀεὶ λαβεῖν τι ἀνεπιλείπτως, διὰ τὸ μὴ πέρας ἔχειν, οὐδ᾽ ἀρχήν, τίνος ἕνεκεν οὐ διὰ τὸν τόπον, ἀλλὰ διὰ τὸ κινούμενον συνεχὴς ἡ κίνησις λέγεται; ἢ ὅτι καὶ ὁ τόπος συνεχὴς λέγεται τῷ συνεχὲς εἶναι τὸ περιεχόμενον σῶμα. τοῦ γὰρ ἐντοπιζομένου συμβεβηκός ἐστιν ὁ τόπος, καὶ παρ᾽ αὐτοῦ τὴν συνέχειαν ἔχει, ὥστε τὸ αὐτὸ ἑαυτῷ ἀεὶ συνεχές ἐστι, καὶ ἡ κίνησις τῷ τὸ κινούμενον συνεχὲς εἶναι, τὸ μὲν οὖν κύκλῳ φερόμενον σῶμα συνεχῆ ποιεῖ τὴν κίνησιν, ἡ δὲ κίνησις τὸν χρόνον.

## Ἀπορίαι.

ἈΠορεῖται δὲ περὶ τῆς τοῦ Φιλοσόφου λέξεως, ἐν ᾗ τῆς μὲν συνεχείας φησὶν ἡ τοῦ ὅλου φορὰ αἰτία. τοῦ δὲ προσιέναι καὶ ἀπιέναι ἡ ἔγκλισις, πότερον ὅλου φορὰν τὴν τῆς ἀπλανοῦς κίνησιν καλεῖ ὡς Ἀλέξανδρος ἑρμηνεύει, ἥτις ἀπὸ ἀνατολῶν εἰς δυσμὰς φερομένη τὸ νυχθήμερον ἀποτελεῖ συμπεριάγουσα τοὺς ὑπ᾽ αὐτὴν πλανωμένους ἀστέρας, ἢ τῆς ὅλης ἡλιακῆς σφαίρας τὴν κίνησιν οὕτω προσαγορεύει; Πρὸς ὃ ῥητέον ὅτι εἰ καὶ ἡ κίνησις τῆς ἐξωτάτω σφαίρας τὴν τάξιν τοῦ παντὸς ἀπεργάζεται, καὶ τὴν τοῦ χρόνου συνέχειαν ἀποτελεῖ, καὶ αὐτῇ πρώτως ἐπιτίθεται ἡ τῶν ὄντων ἀϊδιότης, ἀλλ᾽ ὅμως ὁ Φιλόσοφος διαῤῥήδην ἐπὶ τῆς προκειμένης λέξεως, τῆς μὲν κατὰ γένεσιν καὶ φθορὰν ἀνωμαλίας, αἰτίαν ἀποφαίνεται τὴν κατὰ πρόσοδον καὶ ἄφοδον διαίρεσιν τῆς τοῦ Ἡλίου φορᾶς διὰ τὴν ἔκλισιν τοῦ Ζῳδιακοῦ κύκλου. τῆς δὲ ἀνεπιλείπτου κατὰ διαδοχὴν συνεχείας, τὴν τῆς ἡλιακῆς σφαίρας ἀκατάπαυστον καὶ ἀδιάκοπον κίνησιν. καὶ γὰρ ὁ Φιλόσοφος κυρίως γεννητικόν φησι τὸν Ἥλιον; ὥστε τῆς τε γενέσεως καὶ φθορᾶς αἴτιον εἶναι ᾗ διαδέχεται ἀλλήλας, καὶ τῆς τούτων ἀνωμαλίας. Ἀπορεῖται δεύτερον, δοκεῖ γὰρ ὁ Φιλόσοφος ὡρισμένους τιθέναι τῶν ζώων τοὺς βίους, τοῦτο δὲ οὐχ οὕτως ἔχει, τὰ μὲν γὰρ ἐπιμήκιστον ζῇ, τὰ δὲ ἀποθνήσκει εὐθὺς γεννώμενα, καὶ τοσαύτη ἐστὶν ἔν τε ἀνθρώποις καὶ Ἵπποις, καὶ τοῖς ζώοις ἅπασι τοῦ βίου διαφορά, ὥστε μηδαμῶς ἐνδέχεται ὡρισθῆναι, ἢ ὅτι ὅρους ὁ Φιλόσοφος τίθησι τοῦ βίου οὐ τῶν καθ᾽ ἕκαστα, ἀλλὰ κατὰ τὸ εἶδος, οὓς ἀδύνατον ὑπερβιῶναι, ἐντὸς δὲ τούτων τεθνάναι τὰ κατὰ μέρος διὰ τὴν τῆς ὕλης ἀνωμαλίαν, καὶ τὴν τῶν ἔξωθεν ἐπισυμβαινόντων βίαν οὐκ ἄτοπον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Π. τ.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ, ΙΑ'.

### Ὅτι ὅσων μὲν ἄφθαρτος ἡ οὐσία ἡ κινουμένη, καὶ ἀριθμῷ ταυτὰ ἔσται, ὅσων δὲ μὴ ἀνάγκη τῷ εἴδει, τῷ ἀριθμῷ δὲ μὴ ἀνακάμπτειν.

Ἐπεὶ δὲ εἴρηται ἀνωτέρω, ὅτι συνεχῶς κινεῖται τὰ ὑπὸ Σελήνην καὶ γένεσιν ἢ ἀλλοίωσιν, ἢ ὅλως τινὰ μεταβολὴν, ὥστε μὴ ἵστασθαι, μηδὲ μένειν ἀκίνητα, ὅθεν συνῆπται ὅτι ἐπειδὴ ἀδύνατον ταῦτα κινούμενα σώζεσθαι τὰ αὐτὰ κατ᾽ ἀριθμὸν, ἀνάγκη ἐστὶ γίγνεσθαι ἐφεξῆς τόδε μετὰ τόδε, ὥστε μὴ διαλείπειν τὸ εἶδος, ἀλλ᾽ ἐν τοῖς κατὰ διαδοχὴν γιγνομένοις τηρεῖσθαι, εἰκότως ἀπορεῖται πότερον ἀναγκαία ἐστὶν ἡ τοιαύτη τῶν γενέσεων διαδοχὴ, ὥστε καὶ τῶν καθ᾽ ἕκαστον γιγνομένων εἶναί τινα ἐξ ἀνάγκης ὑπάρχοντα, ἢ οὐδὲν ἐξ ἀνάγκης ἐστὶν, ἀλλὰ πάντα ἐνδέχεται μὴ γενέσθαι, ὅτι μὲν γὰρ ἔνια τῶν γιγνομένων ἐξ ἀνάγκης ὑπάρχει, ὥστε μὴ ἐνδέχεσθαι μὴ εἶναι, ἔνια δὲ μὴ ἐξ ἀνάγκης, ἀλλ᾽ ἐνδεχομένως, δῆλον ἀπὸ τῆς διαφορᾶς τῶν ὀνομάτων σημασίας, οἷς τὰ γενησόμενα δηλοῦμεν πράγματα. ταῦτα δέ ἐστι τὸ ἔσται καὶ τὸ μέλλον, ἅτινα πλεῖστον διαφέρουσι ταῖς δυνάμεσι. τὸ μὲν γὰρ ἔσται σημαντικόν ἐστι τῶν ἐξ ἀνάγκης γενησομένων, ὃ μὲν γὰρ ἀληθὲς εἰπεῖν ὅτι ἔσται, δεῖ τοῦτο εἶναι ποτὲ ἀληθὲς ὅτι ἐστί. τὸ δὲ μέλλον δηλωτικόν ἐστι τῶν ἐνδεχομένων εἶναι, καὶ μὴ εἶναι, ὃ γὰρ νῦν ἀληθὲς εἰπεῖν, ὅτι μέλλει, οὐδὲν κωλύει μὴ γενέσθαι, μέλλων γὰρ ἂν βαδίζειν τις, οὐκ ἂν ἐξ ἀνάγκης βαδίσειεν, ἀλλ᾽ ἐνδέχεται μὴ βαδίσαι. Ἔτι δὲ ὅτι τῶν γιγνομένων ἔνια ἐξ ἀνάγκης ὑπάρχει, δείκνυται, καὶ γὰρ ἡ γένεσις ὁδός ἐστιν εἰς τὸ εἶναι, ὥστε ὡς ἔχει τὸ εἶναι, οὕτως ἔχειν τὴν γένεσιν. ἐπειδὴ οὖν ἐνδέχεται ἔνια τῶν ὄντων καὶ εἶναι καὶ μὴ εἶναι, δῆλον ὅτι καὶ τὰ γιγνόμενα ἐνδεχομένως ἕξει, ὥστε μὴ γίγνεσθαι ἐξ ἀνάγκης, ἀλλ᾽ ἐνδέχεται γίγνεσθαι καὶ μὴ γίγνεσθαι, ζητεῖται τοίνυν πότερον ἅπαντα τὰ ὄντα κατά τε τὸ γίγνεσθαι καὶ τὸ εἶναι ἐνδεχόμενά εἰσιν, ἢ οὔ; ἀλλ᾽ ἔνια μὲν ἐνδέχεται καὶ εἶναι καὶ μὴ εἶναι, καὶ γίγνεσθαι, καὶ μὴ γίγνεσθαι, ἔνια δὲ ἐξ ἀνάγκης ὑπάρχουσι, καὶ ἀναγκαῖον ἁπλῶς γίγνεσθαι, καὶ γάρ ἐστιν ὥσπερ ἐπὶ τοῦ εἶναι τὰ μὲν ἀδύνατα μὴ εἶναι, ἀλλ᾽ ἀναγ-



ΙΩΑΝΝΙΝΑ 2006

καῖον εἶναι, τὰ δὲ δυνατὰ εἶναι καὶ μὴ εἶναι, οὕτω καὶ περὶ τὴν γένεσιν
τὰ μὲν ἀδύνατα μὴ γίγνεσθαι, τὰ δὲ δυνατὰ γίγνεσθαι, καὶ μὴ γίνε-
σθαι, οἷον τροπὰς Ἡλίου, καὶ ἀνακάμψεις ἀνάγκη ἐστὶ γενέσθαι, καὶ
γὰρ οὐχ οἷόν τε μὴ εἶναι, ἀλλ᾽ ὥσπερ εἰσὶν ἐξ ἀνάγκης, οὕτω καὶ γί-
νονται ἀναγκαίως, τοιγαροῦν ὅπως αὖ φανερὸν γένηται ὅτι ἔνια τῶν γι-
γνομένων ἐξ ἀνάγκης γίνεται καὶ ὑπάρχει. ἐπειδὴ γὰρ τὰ εἴδη τῶν
πραγμάτων μένειν ἐν τῷ παντὶ ἀνάγκη, ταῦτα δ᾽ ἐν τοῖς καθ᾽ ἕκα-
στα τὸ εἶναι ἔχει, ἀνάγκη ἐστὶν ὑπάρχειν ἔνια τῶν καθ᾽ ἕκαστα, ἐκεῖ-
νο πρῶτον εἰδέναι δεῖ, πότερον ὥσπερ τὸ πρότερον ἀνάγκη γενέσθαι, εἰ
τὸ ὕστερόν ἐστιν, οἷον εἰ οἰκίαν εἶναι ἀνάγκη καὶ θεμέλιον ἀνάγκη ὑ-
πάρχειν, εἰ δὲ τοῦτο καὶ πηλόν. ἆρ᾽ οὕτω καὶ ἐκ τῆς τοῦ προτέρου ὑπάρξεως
τὸ τοῦ ὑστέρου εἶναι συνάγεται, οἷον εἰ θεμέλιος γέγονεν ἀνάγκη καὶ οἰ-
κίαν γενέσθαι, ἢ οὐκ ἔτι; φανερὸν οὖν ὅτι ἐν τοῖς ἐξ ἀνάγκης ὑπάρ-
χουσιν, ὄντος τοῦ προτέρου, οὐκ ἐνδέχεται τὸ ὕστερον μὴ εἶναι, οἷον τῆς
οἰκίας ἐξ ἀνάγκης οὔσης, θεμελίου γενομένου, ἀνάγκη γενέσθαι οἰκίαν,
ἐν οἷς μὲν οὖν τὸ ὕστερον ἐξ ἀνάγκης ὑπάρχει, ἐναλλὰξ ἐκ τοῦ προ-
τέρου τὸ ὕστερον, καὶ ἐκ τοῦ ὑστέρου τὸ πρότερον ἐπιφέρεται. ἐπειδὴ γὰρ οὕ-
τως ἔχει τὸ πρότερον πρὸς τὸ ὕστερον, ὥστε καὶ τὸ ὕστερόν ἐστιν, ἀνάγκη
πρότερον γενέσθαι ὃ πρῶτόν ἐστιν. εἰ τοίνυν ἀνάγκη γενέσθαι τὸ ὕστερον καὶ
τὸ πρότερον ἀνάγκη. ἐπειδὴ δὲ πάλιν τὸ ὕστερον ἐξ ἀνάγκης γενέσθαι
ὑποτίθεται, φανερὸν ὅτι εἰ τὸ πρότερόν ἐστι καὶ τὸ ὕστερον ἀνάγκη εἶναι,
ὥστε συνεισάγεσθαι ἀντιστρόφως, γίγνεται δὲ τὸ ὕστερον οὐχ ὅτι ὕστερον,
ἀλλ᾽ ὅτι ὑπέκειτο ἐξ ἀνάγκης ἐσόμενον, ἐν οἷς ἄρα τὸ ὕστερον ἀνάγ-
κη εἶναι ἐν τούτοις ἀντιστρέφει, καὶ ἀεὶ τοῦ προτέρου γενομένου ἀνάγκη γενέ-
σθαι τὸ ὕστερον, ἐπειδὴ μὲν οὖν ἀνάγκη τῶν γιγνομένων ἔνια ὑπάρχειν,
καὶ γίγνεσθαι ἀνάγκη κύκλῳ ταῦτα κινεῖσθαι. τῶν γὰρ ἐπ᾽ εὐθείας κι-
νουμένων οὐδενὶ τὸ ἀναγκαῖον ὑπάρχει. εἴτε γὰρ ἄπειρος, εἴτε πεπερασ-
μένη λέγοιτο ἡ εὐθεῖα ἀνακόλουθόν ἐστι τὸ ἀναγκαῖον, εἰ γὰρ εἰς ἄπει-
ρον εἴη ἐπὶ τὸ κάτω ἡ γένεσις μὴ ἀνακάμπτουσα, οὐδέτερον τῶν ἀναγ-
καίων ἕψεται, οὔτε τὸ ἁπλῶς, οὔτε τὸ ἐξ ὑποθέσεως, καὶ οὐκ ἔσται ἀ-
νάγκη τὸ ὕστερον τόδε γενέσθαι ἁπλῶς, ἀλλ᾽ οὐδὲ ἐξ ὑποθέσεως, ἐν μὲν
γὰρ τῷ ἐξ ὑποθέσεως ἀναγκαίῳ, ἀεί τι ἔμπροσθεν ἕτερον ἐξ ἀνάγ-
κης ὑπάρχει, διὸ καὶ τὸ ὕστερον ἀνάγκη γενέσθαι, ἐν δὲ τῷ ἀπείρῳ οὐκ
ἔστι πρότερον καὶ ὕστερον, ἔνθα γὰρ ἀρχὴ καὶ πρῶτον ἔσται τὸ πρότερον καὶ
ὕστερον. τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή, ὥστε οὐδὲ πρῶτον ἔσται οὐδέν, διὸ
ἀναγκαῖον ἔσται γενέσθαι τὸ ὕστερον. ἀλλὰ μὴν οὐδ᾽ ἐπὶ πεπερασμένης εὐ-
θείας τοῦτο ἔσται εἰπεῖν ἀληθές, ὅτι ἁπλῶς ἀνάγκη γενέσθαι, οἷον οἰ-
κίαν ὅταν θεμέλιος γένηται, τὸ γὰρ ἀναγκαῖον ἁπλῶς ἀεί ἐστι, καὶ τὸ

ἐνδε-

Ε.Υ.Σ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐνδεχόμενον μὴ ἀεὶ εἶναι οὐκ ἀναγκαῖον ἁπλῶς. ὅταν οὖν γένηται εἰ μὴ ἀεὶ τοῦτο ἀνάγκη γίγνεσθαι, ἀλλὰ πέρας ἔχει συμβήσεται ἀεὶ εἶναι τὸ ἐνδεχόμενον μὴ ἀεὶ εἶναι, ἐπειδὴ τοιγαροῦν δεῖ τῇ γενέσει ἀεὶ εἶναι, εἰ ἐξ ἀνάγκης ἐστὶν αὐτοῦ τοῦ γενομένου ἡ γένεσις, τὸ γὰρ ἐξ ἀνάγκης καὶ ἀεὶ ἅμα ὀφείλει εἶναι, ὃ γὰρ ἐξ ἀνάγκης οὐχ οἷόν τε μὴ εἶναι, τὸ δὲ οὐχ οἷόν τε μὴ εἶναι, ἀνάγκη ἀεὶ εἶναι, ὥστε εἰ ἔστιν ἐξ ἀνάγκης ἅμα ἀΐδιόν ἐστι. καὶ εἰ ἀΐδιον, ἐξ ἀνάγκης. ἐπειδὴ τοίνυν ἡ γένεσις ἐξ ἀνάγκης ἐστὶ, καὶ ἡ τοῦ γινομένου γένεσις ἀΐδιος ἔσται. καὶ εἰ ἀΐδιος ἐξ ἀνάγκης, καὶ ἐπειδὴ τινῶν ἡ γένεσις ἁπλῶς ἐξ ἀνάγκης ἐστὶν, ἀνάγκη περικυκλεῖν καὶ ἀνακάμπτειν. δυοῖν γὰρ τούτοιν προσόντοιν τῇ γενέσει τούτε ἀϊδίου, καὶ τοῦ πρότερον καὶ ὕστερον, πέρας μὲν ἔχειν ἀδύνατον διὰ τὸ ἀΐδιον εἶναι, λείπεται οὖν ἢ εἰς εὐθὺ ἐπ' ἄπειρον ἰέναι, ἢ κύκλῳ ἀνακάμπτειν, εἰς μὲν οὖν εὐθὺ οὐχ οἷόν τε προϊέναι διὰ τὸ μηδαμῶς εἶναι ἀρχὴν ἐν τῇ ἐπ' ἄπειρον εὐθεία, οὐδὲ τὸ πρότερον καὶ ὕστερον, μήτ' αὖ κάτω ὡς ἐπὶ τῶν ἐσομένων διαλαμβανόμενον, καὶ τῷ μέλλοντι, μήτε ἄνω ὡς ἐπὶ τῶν γιγνομένων, καὶ τῷ παρεληλυθότι, εἰ οὖν ἀνάγκη καὶ ἀρχὴν εἶναι μὴ πεπερασμένης οὔσης, καὶ ἀΐδιον εἶναι, ἀνάγκη κύκλῳ εἶναι. ἀντιστρέφειν ἄρα ἀνάγκη ἔσται. οἷον εἰ τὸ δὶ ἐξ ἀνάγκης εἶναι, καὶ τὸ πρότερον ἄρα, ἀλλαμὴν εἰ τοῦτο, καὶ τὸ ὕστερον ἀνάγκη γενέσθαι. καὶ τοῦτο ἀεὶ δὴ κατὰ διαδοχὴν συνεχῶς γίγνεσθαι, καὶ ἀνεπιλείπτως. οὐδὲν γὰρ τοῦτο διαφέρειν λέγειν διὰ δύω, ἢ πολλῶν μεταξὺ γενέσεων ἡ ἀνάκαμψις γίνεται, ἀληθὲς γάρ ἐστιν εἰπεῖν ἀεὶ, ὅτι εἰ ὁ ἄνθρωπος ἐστὶν ἐξ ἀνάγκης, καὶ ἄνθρωπος ἐξ ἀνάγκης ἔσται. ἐν μόνῃ ἄρα τῇ κύκλῳ κινήσει καὶ γενέσει ἐστὶ τὸ ἐξ ἀνάγκης ἁπλῶς. καὶ εἴτε κύκλῳ ἀνάγκη ἕκαστον γίνεσθαι, καὶ γεγονέναι, καὶ εἰ ἀνάγκη ἡ τούτων γένεσις κύκλῳ, ταῦτα μὲν δὴ εὐλόγως οἷς ἀλλαχοῦ δέδεικται ὅτι μόνη ἡ κύκλῳ κίνησις ἀΐδιος, καὶ ἡ τοῦ οὐρανοῦ κύκλῳ κίνησις, καὶ ταύτῃ μόνῃ πρόσεστι τὸ ἀναγκαῖον, ὥστε ἐξ ἀνάγκης γίγνεσθαι τὰς κινήσεις τούτου, τὰς δὲ ἄλλας ὅσαις πρόσεστι τὸ ἀναγκαῖον καὶ τὸ ἀΐδιον διὰ τὴν τοῦ οὐρανοῦ κίνησιν οὕτως ἔχειν, εἰ γὰρ τὸ κύκλῳ κινούμενον ἀεί τι κινεῖ, ἀνάγκη καὶ τῶν κινουμένων καὶ γινομένων τὰς κινήσεις καὶ γενέσεις κύκλῳ εἶναι. ἀΐδιος μὲν οὖν ἡ γένεσις ὅτι συνεχὴς καὶ ἀΐδιος ἐπὶ τοῦ λοξοῦ κύκλου ἡ τοῦ Ἡλίου φορὰ, κύκλῳ δὲ, Ὅτι ὁ Ἥλιος κύκλῳ κινεῖται προσιὼν ἢ ἀπιών. διὰ τοῦτο καὶ ἡ τῶν ὡρῶν περίοδος κύκλῳ γίνεται καὶ ἀνακάμπτουσι. καὶ τούτων οὕτω γιγνομένων, ἀϊδίως τε καὶ κυκλικῶς πάντα ἀπὸ τῶν ἀϊδίως καὶ κυκλικῶς φερομένων σωμάτων. ἐκεῖνο δέ τι ἀπορεῖται, τί δήποτε τὰ μὲν οὕτω φαίνεται, οἷον ὕδατα καὶ ἀὴρ κύκλῳ γιγνόμενα, καὶ γὰρ εἰ νέφος ἔσται δεῖ καὶ ὗσαι καὶ εἰ ὕσει γε δεῖ καὶ νέφος



Ε.Υ.Δ ... ΙΩΑΝΝΙΝΑ 2006

εἶναι, κἂν τούτοις κύκλῳ ἡ γένεσις γίγνεται, οἷον ἐξ ἀτμῶν ὕδωρ, καὶ ἐξ ὕδατος ἀτμός. ἄνθρωποι δὲ καὶ ζῶα οὐκ ἀνακάμπτουσιν εἰς ἑαυτοὺς, ὥστε πάλιν γίγνεσθαι τὸν αὐτὸν κατ᾽ ἀριθμὸν, οἷον ἐκ Σωφρονίσκου Σωκράτην, καὶ ἐκ Σωκράτους Σωφρονίσκον. καὶ γὰρ οὐκ ἀνάγκη εἰ ὁ Πατὴρ ἐγένετο καὶ Υἱὸν γενέσθαι, ἀλλ᾽ εἰ υἱός ἐστιν ἀνάγκη γενέσθαι πατέρα, ὥστε δοκεῖ εἰς εὐθὺ ἰέναι τὴν τοιαύτην γένεσιν, καὶ μὴ ἀνακάμπτειν. ἐκ τῆς αὐτῆς οὖν ἀρχῆς ἡ ἀπορία πάλιν λύεται. ἐπειδὴ γὰρ διώρισται ὅτι μὴ πάντα ὁμοίως ἀνακάμπτει, ἀλλὰ τὰ μὲν ἀριθμῷ, τὰ δὲ εἴδει μόνον, φανερὸν ὅτι ὅσων ἡ οὐσία ἡ κινουμένη ἄφθαρτος, καὶ ἀριθμῷ ταυτὰ διατελεῖ, καὶ ἀνακάμπτει ταυτά. ἡ γὰρ κίνησις ἀκολουθεῖ τῷ κινουμένῳ. ὅσων δὲ μὴ, ἀλλὰ φθαρτὴ, ἀνάγκη τῷ εἴδει, ἀλλὰ μὴ ἀριθμῷ ταυτὰ ἀνακάμπτειν. αἱ μὲν οὖν κινήσεις τῶν οὐρανίων σωμάτων τῆς τούτων φύσεως οὔσης ἀϊδίου, αἱ αὐταὶ ἀνακάμπτουσι, τὰ δὲ ὑπὸ Σελήνην φθαρτὰ ὄντα ἀνακυκλούμενα οὐ ταυτὰ τῷ ἀριθμῷ μένει, ἀλλὰ τῷ εἴδει, οἷον ὕδωρ ἐξ ἀέρος, καὶ ἀὴρ ἐξ ὕδατος εἴδει ὁ αὐτὸς, ἀλλ᾽ οὐκ ἀριθμῷ, εἰ δέ τις καὶ ταῦτα τις εἴποι ταυτὰ κατ᾽ ἀριθμὸν ἐπανιέναι, οἷον εἰ ἐξ ὕδατος ἀὴρ, καὶ ἐξ ἀέρος ὕδωρ γένηται τὸ ὕδωρ δοκεῖ ταυτὸν εἶναι κατ᾽ ἀριθμόν. ἀλλ᾽ ὅμως ὧν ἡ οὐσία γίγνεται τοιαύτη οὖσα οἵα ἐνδέχεσθαι μὴ εἶναι, οἷον ἐπὶ τῶν ζώων τὰ καθ᾽ ἕκαστα ἐνδεχόμενα ὄντα εἶναι, καὶ μὴ εἶναι, οὐκ ἀνακάμπτουσι ταυτὰ τῷ ἀριθμῷ, ἀλλὰ τῷ εἴδει.

## ΣΥΝΟΠΤΙΚΗ´ ΠΡΑΓΜΑΤΕΙ´Α.

### Περὶ τοῦ ὅτι πρώτως ποιητικὸς ὁ αἰθὴρ τοῦ θνητοῦ σώματος.

ΘΕωρὸς ὁ Φιλόσοφος τῶν ἐν τῷ Κόσμῳ, ἀλλ᾽ οὐ τῶν ὑπερκοσμίων ἀκροατὴς γενόμενος τοῦ γεννητοῦ καὶ φθαρτοῦ σώματος τὴν ποιητικὴν αἰτίαν τοῖς οὐρανίοις ἀνατίθεται σώμασι, καὶ ταῦτα ἀΐδιά τε λέγων καὶ ἀγέννητα, καὶ παντὸς ἀπαθῆ, ὡς μηδέποτε πάθος ὑφ᾽ ἑτέρου λαβόντα, ἀλλ᾽ ἀεὶ τὴν οἰκείαν φύσιν ἀπαράδεκτον σώζοντα, καὶ ἀμετάβλητον. ὅπως οὖν τὴν τοῦ Φιλοσόφου δόξαν περὶ τῆς ποιητικῆς αἰτίας τῶν γιγνομένων ἐκθώμεθα, ἐκεῖνο πρῶτον οὐκ ἀπεικότως ζητητέον, πότερον ἔχηκε ποιητικὴν αἰτίαν τὰ οὐράνια σώματα κατ᾽ αὐτὸν, ἢ οὔ; εἰ γὰρ ἔ-



ΙΩΑΝΝΙΝΑ 2006

στι τι καὶ ταῦτα πεποιηκὸς, φανερόν ἐστιν ὅτι οὐκ αὐτά εἰσι τὸ ποιητικὸν, ἀλλὰ τὸ ταῦτα ποιῆσαν, αὐτῶν τε καὶ τῶν ὑπ' αὐτὰ αἰτία λέγοιτ' ἂν μᾶλλον εὐλόγως. ἐπειδὴ δέ τινες τῶν εὐσεβεῖν δοκούντων λίαν δὲ ἀσεβῶς συνθολοῦντες τὸν τῆς ἀληθείας λόγον, τὸ κεχωρισμένον εἶδος αἰτίαν ἀποφαίνονται ποιητικὴν τῶν οὐρανίων σωμάτων, ἀξιοπρεπῶς δεδοικότες μὴ καὶ Θεὸν ὃν ἡ καθ' ἡμᾶς πρεσβεύει ἱερὰ Φιλοσοφία τὸ πλαστουργὸν ἀπαλλάττηται, εἰ μὴ ποιητικὸν λέγοιεν τὸν κατὰ τὸν Ἀριστοτέλη κεχωρισμένον νοῦν, ὡσπερανεὶ ταυτὸν εἶναι οἱ κατὰ Φιλόσοφον νόες, καὶ ἡ παρ' ἡμῖν ξιασοφαὴς τῆς θεότητος αἴγλη, ἣν αὐτεξούσιόν τε καὶ προνοητικὴν, καὶ μυρίαις ἄλλαις ἰδιότησι τῶν κατὰ τὸν Φιλόσοφον νοερῶν οὐσιῶν ὑπερβαλλόντως διαφέρουσαν πρεσβεύομεν, φέρε δὴ τοῦτο πρῶτον σκεψώμεθα, πότερον δύναμίς τις ποιητικὴ προσήκει τῷ πρώτῳ νῷ, ἢ οὔ;

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΠΡΩ'ΤΟΝ.

### Πότερον ποιητικαὶ εἰσὶν αἱ νοεραὶ οὐσίαι κατὰ τὸν Φιλόσοφον;

ἩΜεῖς οὖν, ἐπειδὴ πασῶν τῶν ἀΰλων οὐσιῶν ὁμοίως ἀλλότριον τὸ ποιεῖν, ὡς περὶ ἑνὸς τὸν λόγον προτείνωμεν. ἵνα δὲ καὶ καθ' εἱρμὸν ὁ λόγος εἴη, σκεψώμεθα πρῶτον ἁπλῶς, εἰ τὸ ποιεῖν προσήκει τῷ κεχωρισμένῳ νῷ, εἶτα πότερον ἐνδέχεται ποιητικὸν εἶναι τῶν χωριστῶν εἰδῶν, μετὰ δὲ ταῦτα καὶ τῆς αἰσθητῆς οὐσίας. Τελευταῖον εἰ καὶ νῦν τῆς τῶν οὐρανῶν κινήσεως αἰτία λέγοιτο ποιητική. ὁ μὲν οὖν Σιμπλίκιος πολλὰ μὲν οὖν τῶν Ἀμμωνίου συγγραμμάτων ἐπιλεξάμενος, πολλὰ δὲ καὶ οἴκοθεν αὐτὸς προστιθεὶς τὴν ποιητικὴν αἰτίαν ἀπονέμειν πειρᾶται ταῖς ἀΰλοις οὐσίαις. τοιγαροῦν πρῶτον ἀπὸ τῶν τοῦ Πλάτωνος δογμάτων τὴν οἰκείαν συνίστησι δόξαν, καὶ συμφωνεῖν οἴεται τὸν Φιλόσοφον ταῖς ἐν τῷ Τιμαίῳ τοῦ Πλάτωνος ῥήσεσιν, ἐν αἷς ἐκεῖνος τῷ Θεῷ πότε τελικὸν αἴτιον καὶ τὸ ποιητικὸν ἀποδίδωσι. γράφοντος γὰρ δι' ἣν
„ αἰτίαν γένεσιν καὶ τόδε τὸ πᾶν ὁ ξυνιστὰς συνέστηκεν. ἀγαθὸς ἦν,
„ ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος, ἐπιφέρει Σιμπλίκιος ὅτι ποιητὴς τοῦ παντός ἐστιν. ὅτι ξυνιστὰς λέγεται, καὶ ξυνι-
„ στάναι τὸν Κόσμον, τέλος δὲ ὅτι ἀγαθός. καὶ δι' ὅλου τοῦ διαλόγου τὰ
„ αὐτὰ νενομίσθαι φησὶ τῷ Πλάτωνι. Ὅτι μὲν οὖν χάριν φησὶν ὁ
„ Δημιουργὸς πρὸς τὸ κατ' αὐτὰ βλέπων ἀεὶ τοιούτῳ τινὶ προσχρώμενος